σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι, οἷάπερ αὐτὸς
   Κύρν' ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ' ἐὼν ἔμαθον.
πέπνυσο, μηδ' αἰσχροῖσιν ἐπ' ἔργμασι μηδ' ἀδίκοισιν
   τιμὰς μηδ' ἀρετὰς ἕλκεο μηδ' ἄφενος.

(Theognidis)

ταῦτα μὲν οὕτως ἴσθι· κακοῖσι δὲ μὴ προσομίλει
   ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο·
καὶ μετὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν
   ἷζε, καὶ ἅνδανε τοῖς, ὧν μεγάλη δύναμις.
ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσι
   συμμίσγηις, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
ταῦτα μαθὼν ἀγαθοῖσιν ὁμίλει, καί ποτε φήσεις
   εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ. ⊗

(Theognidis)

⊗ Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκηι ἄνδρα > 1081
   εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης. 1082
ἀστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες, ἡγεμόνες δὲ 1082a
   τετράφαται πολλὴν εἰς κακότητα πεσεῖν. × b
οὐδεμίαν πω Κύρν' ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες·
   ἀλλ' ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἅδηι,

33 - 6 Plato *Men*. 95d; Muson. (p. 62 Hense) ap. Stob. 4. 15. 18; 33 - 5 confuse sine nom. Nicostr. *π. γάμου* ap. Stob. 4. 23. 64; 35 - 6 Xen. *conv*. 2. 4; id. *mem*. 1. 2. 20 (sine nom.; + Stob. 3. 29. 95; Clem. *Strom*. 5. 52. 4; Nicol. *Progymn*. p. 27. 2 Felten; schol. Arist. *Eth. Nic*. 9. 9. 7 (*An. Par*. i. 229.4 Cramer); resp. Arist. l.c., p. $1170^{a}11$; 35 (-ἐσθλά) Arist. *Eth. Nic*. 9. 12. 3 p. $1172^{a}13$ (sine nom.)